πρόσω τινὰ πυνθάνεσθαι
τῶνδε πόνων ἄπειρον.
(Dux chori)
ταῦτα μέν, ὦ παῖ, κρείσσονα χρυσοῦ,
μεγάλης δὲ τύχης καὶ ὑπερβορέου
μείζονα φωνεῖς· δύνασαι γάρ.
ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης
δοῦπος ἱκνεῖται· τῶν μὲν ἀρωγοὶ
κατὰ γῆς ἤδη· τῶν δὲ κρατούντων
χέρες οὐχ ὅσιαι στυγερῶν τούτων,
παισὶ δὲ μᾶλλον γεγένηται.

str. 3. ΗΛ. τοῦτο διαμπερὲς οὖς
ἵκεθ᾽ ἅπερ τι βέλος.
Ζεῦ Ζεῦ, κάτωθεν ἀμπέμπων
ὑστερόποινον ἄταν
βροτῶν τλήμονι καὶ πανούργῳ
χειρί, τοκεῦσι δ᾽ ὅμως τελεῖται.

str. 2. ΧΟ. ἐφυμνῆσαι γένοιτό μοι
πευκήεντ᾽ ὀλολυγμὸν ἀνδρὸς
θεινομένου, γυναικός τ᾽
ὀλλυμένας· τί γὰρ κεύ-

358. ἐμέ. 361. ὑπερορίου. τύχης τῆς ἄγαν πνεούσης. 362. ῥᾴδιον γὰρ τὸ εὔχεσθαι. 363. διπλῇ μάστιγι ἐπλήγημεν. μάστιγος. 364. ἡμῶν οἱ σύμμαχοι οἱ περὶ Ἀγαμέμνονα. 366. τοῦτο ἰδίᾳ ἀναπεφώνηται, τῶν ἄγαν στυγερῶν τούτων. τοῦτο δὲ μᾶλλον Ἀγαμέμνονος τοῖς παισὶν αὐτοῦ συμβέβηκεν· πρὸς ὃ ἐπάγει Ἠλέκτρα ὅτι ὡς βέλος μου ὁ λόγος οὗτος ἥψατο. 371. τὴν Ἐρινύν. 372. τῇ χειρὶ Κλυταιμνήστρας καὶ Αἰγίσθου. 373. ἵνα τὸ ὅμοιον καὶ ἴσον τῷ πατρί μου φυλαχθῇ. 375. πανηγυρικόν, λαμπρόν.

358. πρόσω Hermannus: πρόσσω M. 361. leg. τε. 362. φωνεῖς. δύνασαι Hermannus: φωνεῖ· ὃ δυνᾶσαι M. delenda censeo (οὐ) δύνασαι γάρ. 363. μαράγνης Robortellus: μαράγμησ M. 365. καταγῆσ [·ᾱ·] M. 368. οὖς Schuetzius: ὢσ M. 369. ἵκετο M. τι L. Dindorfius: τε M. 371. ἄτην [·α·] M. 376. θινομένου [ει] M. 377. ὀλλυμένησ [α] M.